τὰ περιττὰ χρήματα, τρυφὰς ἐμποιοῦντα καὶ χαυνότητας ἀβεβαίους καὶ κενάς, ὑφ᾽ ὧν ἐπαιρόμεναι πολλάκις ἀποπέτονται· κἂν μένωσι, χρυσαῖς | ὥσπερ ἐν Αἰθιοπίᾳ πέ- 753
δαις δεδέσθαι βέλτιον ἢ πλούτῳ γυναικός.᾽

8. Ἐκεῖνο δ᾽ οὐ λέγεις᾽ ⟨ὁ⟩ Πρωτογένης εἶπεν ῾ὅτι κινδυνεύομεν ἀναστρέφειν ἀτόπως καὶ γελοίως τὸν Ἡσίοδον, ἄν, ἐκείνου λέγοντος (O D 696)

῾μήτε τριηκόντων ἐτέων μάλα πόλλ᾽ ἀπολείπων
μήτ᾽ ἐπιθεὶς μάλα πολλά· γάμος δέ τοι ὥριος οὗτος·
ἡ δὲ γυνὴ τέτορ᾽ ἡβώοι, πέμπτῳ δὲ γαμοῖτο᾽,

σχεδὸν ἡμεῖς ἔτεσι τοσούτοις γυναικὶ πρεσβυτέρᾳ καθάπερ οἱ φοίνικας ἢ σῦκα . . . . . . . καὶ ἄωρον ἄνδρα περιάψωμεν. ῾Ἐρᾶται γὰρ αὐτοῦ νὴ Δία καὶ κάεται᾽ τίς οὖν ὁ κωλύων ἐστὶ κωμάζειν ἐπὶ θύρας, ᾄδειν τὸ παρακλαυσίθυρον, ἀναδεῖν τὰ εἰκόνια, παγκρατιάζειν πρὸς B
τοὺς ἀντεραστάς; ταῦτα γὰρ ἐρωτικά· καὶ καθείσθω τὰς ὀφρῦς καὶ παυσάσθω τρυφῶσα, [καὶ] σχῆμα λαβοῦσα τῶν τοῦ πάθους οἰκείων. εἰ δ᾽ αἰσχύνεται καὶ σωφρονεῖ, κοσμίως οἴκοι καθήσθω περιμένουσα τοὺς μνωμένους καὶ